**6** Arist. *Ath. Pol.* 20. 5 ἔτι δὲ πρότερον τῶν Ἀλκμεωνιδῶν Κήδων ἐπέθετο τοῖς τυράννοις, διὸ καὶ ᾖδον καὶ εἰς τοῦτον ἐν τοῖς σκολίοις·

ἔγχει καὶ Κήδωνι διάκονε, μηδ' ἐπιλήθου,
εἰ χρὴ τοῖς ἀγαθοῖς ἀνδράσιν οἰνοχοεῖν.

Ath. 695e inter scolia.

**7** Theophrastus, *de ventis* (= fr. 5 Wimmer) 51 καὶ τῶν ἐν παροιμίᾳ λεγομένων πρός τινας τόπους ἔνια, ὡς περ⟨ὶ⟩ τοῦ Ἀργέστου καὶ Λιβός, ᾗ χρῶνται μάλιστα περὶ Κνίδον καὶ Ῥόδον·

⊗ Λὶψ ἄνεμος ταχὺ μὲν νεφέλας, ταχὺ δ' αἴθρια ποιεῖ·
Ἀργέστηι δ' ἀνέμωι πᾶσ' ἕπεται νεφέλη. ⊗

**8** Chrysipp. π. ἀποφατικῶν 9 (*Stoic. fr.* ii. 54. 24)

⊗ οὔ μοι ἔτ' εὐκελάδων ὕμνων μέλει οὐδ' ἔτι μολπῆς.

**10** Polyb. 15.16.6

ἐσθλὸς ἐὼν ἄλλου κρείττονος ἀντέτυχεν.

Exscripsit *Suda* s.v. ἐπιβολὴ (ii. 350. 6 Adler), addito τοῦτο δέ φασι περὶ Ὕλλου τοῦ Ἡρακλείδου καὶ Ἐχέμου τοῦ Τεγεάτου.

**11** Dion. Hal. *de comp. verb.* 201

κοῦραι ἐλαφρὰ ποδῶν ἴχνι' ἀειράμεναι.

***12** Plut. *Alex.* 53. 5 ex Hermippo (fr. 49 Müller, *F.H.G.* iii. 47)

ἐν δὲ διχοστασίηι καὶ ὁ πάγκακος ἔλλαχε τιμῆς.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415736544/10 UNIVERSITÄT LEIPZIG